UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Theodosio Presbytero. 173.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Τοῖς αὐτοῖς. ροβ.

Ἄκρατος μὲν ἐστὶν, ὡς οἶμαι, ἡ κρίσις. κιρνᾶται δὲ πρὸς τὴν ποιότητα καὶ ποσότητα καὶ πηλικότητα τῶν ἁμαρτημάτων. εἰς τοῦτον γὰρ μάλιστα βλέπει τὸν σκοπὸν τὸν εἰρημένον τῷ μελῳδῷ, ὅτι ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος, πίονται ἐξ αὐτοῦ πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. ὅτι δὲ ἐπὶ τιμωρίας τὸ ποτήριον ἐνταῦθα καὶ τῷ Ἱερεμίᾳ εἴρηται. λάβε τὸ ποτήριον τοῦ θυμοῦ, καὶ ποτιεῖς πάντα τὰ ἔθνη, καὶ πρώτην τὴν Ἱερουσαλήμ. τοὺς γὰρ λέγοντας περὶ τοῦ μυστικοῦ ποτηρίου τὸν μελῳδὸν προπεφητευκέναι, ἐλέγχουσι μὲν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, καὶ ὅσοι τούτου ἄμοιροι τυγχάνουσιν. ἐλέγχει δὲ οὐχ ἥκιστα καὶ αὐτὸς ὁ ἱεροψάλτης, περὶ τούτων τῶν ῥήσεων φράσας, ὅτι ὁ θεὸς κριτής ἐστι, τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ.

Iiſdem. 172.

Purum quidem, vt opinor, Dei iudiciū eſt: temperatur autem iuxta ſcelerum qualitatem & quantitatem. Huc enim maximè ſpectat quod à Pſalmiſta dictum eſt, Calix in manu Domini vini meri plenus mixto: bibent ex eo omnes peccatores terræ. Quod autem hoc loco calix de pœna intelligendus ſit, nemini dubium eſt. quemadmodum etiam apud Ieremiam dictum eſt, Accipe calicem iræ, & pota omnes Gentes, ac primam Ieruſalem: Nam quòd quidem de myſtico poculo Pſalmiſtam vaticinatum eſſe aſſerunt, eorū opinionem & Iudæi & Gentiles, cæterique omnes, qui huius expertes ſunt, refutāt. Atque etiā eos maximè Pſalmiſta ipſemet refellit: vt qui ante hæc verba dixerit, Deus iudex eſt, hunc humiliat, & hunc exaltat.

Θεοδοσίῳ πρεσβυτέρῳ. ρογ.

Ἐδάκρυσεν, ὦ φιλοσοφίας ἄγαλμα, ὁ Χριστὸς ἐπὶ Λαζάρῳ, μάλιστα μὲν κἀν τούτῳ ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων κανόνας ἡμῖν καὶ ὅρους πηγνὺς, ἵνα μὴ ἐκβακχευώμεθα ὑπὸ τῆς λύπης. οἱ γοῦν θεασάμενοι εἶπον, ἴδε πῶς ἐφίλει αὐτόν. ἐπειδὴ δ' ἔφης, οὐκ ἔπρεπε τῷ προειδότι ἀναστήσεται τὸ δακρῦσαι. δακρύομεν γὰρ ἅπαντες τοὺς τεθνεῶτας οὐ τοὺς αὐτίκα μάλα ἀναστήσεσθαι προσδοκωμένους. θέα εἰ δυνήσεται ὁ λόγος ἅψασθαι τῆς ἀκριβείας. φίλος ἦν τοῦ σωτῆρος. φίλος δ' οὖν αὐτοῦ, πάντως δίκαιος ἦν. οὐ γὰρ ἂν ἐφιλεῖτο παρὰ τῆς ἀχράντου δικαιοσύνης μὴ δίκαιος ὤν. οὐ γὰρ χάριτι οἶδε φιλεῖν, ἀλλὰ κρίσει. δίκαιος δ' ὢν, καὶ ἐξελθὼν εὐκλεῶς τὸ στάδιον τοῦδε τοῦ βίου, πάντως ἐν ἀναπαύσει ἦν καὶ τιμῇ. ἐπεὶ οὖν ἔμελλε τοῦτον διὰ τὴν οἰκείαν δόξαν ἀναστήσειν, ἐδάκρυσε, μονονουχὶ λέγων, τὸν εἴσω τοῦ λιμένος

Theodoſio Presbytero. 173.

Chriſtus (ô Philoſophiæ ſimulacrum) ob Lazarum lachrymas profudit: maximè quidem in hoc quoque, quemadmodum & in aliis rebus regulas nobis ac terminos figens, vt ne bacchantium more præ mœſtitia præcipites agamur. Ij quippe qui eū conſpexerunt, dixerunt, Ecce quomodo amabat eum. Quoniam autem minimè cōſentaneum fuiſſe dixiſti, vt is lachrymas emitteret, qui Lazarum ad vitam rediturum eſſe prænoſcebat (nos enim omnes ea de cauſa mortuos lachrymis proſequimur, quòd eos haud ſtatim reuicturos eſſe expectemus) vide an quod dicturus ſum exactam huius rei cauſam attigere queat: Saluatoris amicus erat. Amicus porro cùm eſſet, omnino vel probus erat. Neque enī puræ & labis omnis experti iuſtitiæ charus fuiſſet, niſi iuſtus extitiſſet. Deus enim non fauore, ſed iudicio, ad amandum duci ſolet. Cùm autem iuſtitia prȩditus eſſet, atque ex huius vitæ ſtadio cum laude atque gloria exceſſiſſet, non eſt dubium,

quin in requiete atque honore eſſet. Quoniam igitur ipſum ob ſuam gloriã à morte ad vitam excitaturus eſſet, collachrymauit his propemodum verbis vtens: Eum qui portũ iam appulerat, rurſum ad fluctus & procellas voco: eum, qui iam coronã cõſecutus erat, ad certamina rurſum duco.

Eidem. 174.

Cùm in vnoquoque penè cõgreſſu multi de virtute ſermones habeantur, parua tamen apud multos eius cura eſt, magna autem apud paucos. Cæterùm omnes, nõ modò ipſius amantes ac ſtudioſi, verùm etiam hoſtes, eam laudibus efferunt. Tanta ipſius pulchritudo eſt! Improbitatem contrà, & hoſtes & amatores vituperant. Tanta ipſius deformitas eſt! Verùm præſenti voluptate tanquam armis quibuſdam inſtructa, tametſi alioqui belluina forma prædita, eam, quæ diuina pulchritudine fulget, apud pleroſque ſuperat. Operæpretium itaque eſt illud noſſe, quod etiamſi præſens voluptas, maiorem vim habere videatur, quàm quod in poſterum vtilitatẽ allaturum eſt, at in exitioſum tamen ac peſtiferũ finẽ deſinit. Quocirca ſatius ac præſtabiliꝰ eſt à laboribꝰ ad requiẽ, quàm à voluptate ad cruciatũ proficiſci.

Martiniano Presbytero. 175.

Prudentia ſimplicitate temperata, diuinam quandam rem, hoc eſt numeris omnibus abſolutam virtutem parit. At ſi altera ab altera ſeiungatur, illa in peruerſitatem incidit, hæc in ſtultitiam deſinit. Etenim illa ad malum aliquod patrandũ apta eſt: hæc fraudi ac deceptioni patet. Ac propterea diuinum oraculum per vnã imaginem hoc minimè declarauit (neque enim in iis animantibus, quæ ratione carent, prudentia cum ſimplicitate coniuncta eſt: verùm alia improbitatem, alia ſimplicitatem conſectantur) verùm his verbis vſus eſt, Eſtote prudentes ſicut ſerpentes, & ſimplices ſicut columbæ. Hoc autem non eò ſpectat, vt ſerpentis venenum ac

εἰσελάσαντα, πάλιν ἐπὶ τὰς τρικυμίας καλῶ, τὸν ἤδη στεφθέντα, πάλιν ἐπὶ τοὺς ἀγῶνας ἄγω.

Τῷ αὐτῷ. ροδ.

Πολλῶν λόγων γιγνομένων μικροῦ δεῖν καθ᾽ ἑκάστην συνουσίαν περὶ ἀρετῆς, ὀλίγος μὲν αὐτῆς τοῖς πολλοῖς τυγχάνει λόγος, πολὺς δὲ τοῖς ὀλίγοις. πλὴν πάντες οὐ μόνον οἱ ἐρασταὶ αὐτῆς, ἀλλὰ καὶ οἱ ἐχθροὶ αὐτὴν ἀνακηρύττουσι. τοσοῦτόν ἐστιν αὐτῆς τὸ κάλλος. τὴν δὲ κακίαν καὶ οἱ ἐχθροὶ καὶ οἱ ἐρασταὶ κακίζουσι. τοσοῦτόν ἐστιν αὐτῆς τὸ ἀπεχθὲς, ἀλλὰ τῇ παραυτίκα ἡδονῇ ὁπλιζομένη, εὐδοκιμεῖ παρὰ πολλοῖς. καίτοι θηριόμορφος οὖσα, τὴν θείῳ κάλλει ἀστράπτουσαν. χρὴ οὖν εἰδέναι, ὅτι εἰ καὶ ἡ παραυτίκα ἡδονὴ, μεῖζον δοκεῖ ἰσχύειν τοῦ ὕστερον συνοίσοντος. ἀλλ᾽ εἰς ὀλέθριον καταστρέφει τέλος. ἄμεινον οὖν ἀπὸ πόνων εἰς ἀνάπαυσιν ἰέναι, ἢ ἀπὸ ἡδονῆς εἰς τιμωρίαν.

Μαρτινιανῷ πρεσβυτέρῳ. ροε.

Ἡ φρόνησις τῇ ἁπλότητι κιρνωμένη, θεῖόν τι χρῆμα. φημὶ δὲ, ἐντελεστάτην ἀρετὴν ἀποτελεῖ. εἰ δὲ θατέρα θατέρας χωρισθείη, ἡ μὲν, εἰς πονηρίαν ἐμπίπτει. ἡ δὲ, εἰς μωρίαν τελευτᾷ. ἡ μὲν γὰρ εἰς τὸ κακουργεῖν, ἡ δὲ εἰς τὸ ἀπατᾶσθαι ἐστὶν ἐπιτηδεία. καὶ διὰ τοῦτο ὁ θεῖος χρησμὸς διὰ μιᾶς εἰκόνος τοῦτο οὐ παρέστησεν. οὐ γάρ ἐστιν ἐν τοῖς ἀλόγοις ζῴοις φρόνησις μετὰ ἁπλότητος. ἀλλὰ τὰ μὲν τὴν πονηρίαν, τὰ δὲ τὴν ἁπλότητα μεταδιώκει. ἀλλ᾽ ἔφη, γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. οὐχ ἵνα τὸ ἰοβόλον καὶ πληκτικὸν τοῦ ὄφεως μιμησώμεθα. κακίζονται γὰρ οἱ

Ἰουδαῖοι